ἀναπαιστικῶν ιε. ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε. καὶ ἐν εἰσθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ. ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἓξ δί- A μετρα ἀκατάληκτα. τὸ δὲ τελευταῖον ἑφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος. ἐπὶ δὲ τοῦ β δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Ἀντιλεγόντοιν, κείνας φοιτᾶ.
Δι. Δρᾶν ταῦτ' ἐθέλω. Αδι. κἄγωγ' ἐθέλω.
Χο. Φέρε τίς λέξει πρότερος ὑμῶν;
Αδι. Τούτῳ δώσω.
Κᾆτ' ἐκ τούτων ὧν ἂν λέξῃ,
Ῥηματίοισι καινοῖς αὐτὸν
Καὶ διανοίαις κατατοξεύσω,
Τὸ τελευταῖον δ', ἢν ἀναγρύξῃ,
Τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
Κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν
Ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

*dicentes, arbitrio facto,*
*In ludum eat alterius vestrûm.*
IV. *Faciam hæc sanè ego.* IN. *faciam hoc ego idem.*
B CH. *Sed uter vestrum hîc dicet?*
IN. *Isti cedam:*
*Et quæ ille locutus prior fuerit:*
*Ea verbis & sententiis nouis*
*Prosternam, & ferrò traiiciam:*
*Postremò si hiscere contrà velit,*
*Omnem faciem, atque ambos oculos*
*Elisus, velut à crabronibus,*
*Per sententias ipse peribit.*

C

Σχόλια. Κείνας φοιτᾶ.] ἀντὶ τοῦ φοιτήσῃ. ἐὰν δὲ ᾖ φοιτᾶν ἀπαρεμφάτως, λείπει ποιήσω. ὡς τὸ τὸν παῖδα φοιτήσω τῷ ἐλλογιμωτάτῳ. Ὑπ' ἀνθρηνῶν.] οὕτως οἱ ποιηταὶ τὰς μελίσσας συνεχῶς. ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης ὅμοιον σφηξί.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

D

Χο. Νῦν δείξετον τὼ πισύνω
Τοῖς περιδεξίοισιν
Λόγοισι καὶ φροντίσι καὶ
Γνωμοτύποις μερίμναις,
Ὁπότερος γ' αὐτοῖν λέγων
Ἀμείνων φανήσεται.
Νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος
Ἀνεῖται σοφίας.
Ἧς πέρι τοῖς ἐμοῖς φίλοις
Ἐστὶν ἀγὼν μέγιστος.
Ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας
Ῥῆξον φωνὴν ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

CHORVS.

*NVnc vos duo freti animis,*
*Nunc specimen date ore*
*Diserto, animo sollicito,*
*Mæstificáque cura:*
*Vestrûm vter hîc appareat*
*Loquendo disertior.*
*Liberum enim hîc omne periculum,*
*In arte studiis:*
E *De quibus est hodie meis*
*Maxima rixa amicis.*
*At tu, qui moribus olim egregiis maiores decorasti:*
*Age, vocem, qua gaudes, rumpe, ingeniique ostende vigorem.*

Σχόλια. Νῦν δείξετον.] εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ ὦ καλλίπυργον σοφίαν, ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων ι. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ β ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ γ ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ ε, ἀντιστρόφως τῷ πρώτῳ, ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ς ἐξ ἀντι- F σπαστικοῦ καὶ κρητικοῦ εἴτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διϊάμβου. τὸ δέκατον, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. Ἀνεῖται.] κεῖται. δέδοται. νῦν πρόκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἤγουν περίστασις καταλέλειπται.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τρίτη.
Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.
ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ACTVS III. SCENA III.
*Anapæstici Aristophanij.*

G

IVSTVS, INIVSTVS, CHORVS.

BISETVS. Ὁ δίκαιος, καὶ ὁ ἄδικος λόγος, ὁ μὲν, ἐκεῖθεν, ὁ δὲ, ἐντεῦθεν πρὸς τὸν Στρεψιάδου παῖδα, ὡς ἄλλως ἢ πρὸς τὸν κλεινὸν Ἡρακλέα πάλαι ἡ ἀρετὴ, καὶ ἡ ἡδονὴ, ὁρμῶνται. καὶ ὁ δίκαιος λόγος πρότερος λέγει, καὶ